112 ᾿Αγαθίας· σχολαστικός, Μυριναῖος, ὁ γράψας τὴν μετὰ Προκόπιον ἱστορίαν τὸν Καισαρέα, τὰ κατὰ Βελισάριον καὶ τὰς ἐν ᾿Ιταλίᾳ καὶ ἐν Λιβύῃ πράξεις, τουτέστι τὰ κατὰ Ναρσῆν ἐν ᾿Ιταλίᾳ καὶ τὰ ἐν Λαζικῇ καὶ Βυζαντίῳ. οὗτος συνέταξε καὶ ἕτερα βιβλία ἔμμετρά τε καὶ καταλογάδην, τά τε καλούμενα Δαφνιακά, καὶ τὸν Κύκλον τῶν νέων ᾿Επιγραμμάτων, ὃν αὐτὸς συνῆξεν ἐκ τῶν κατὰ καιρὸν ποιητῶν. συνήκμασε δὲ Παύλῳ τῷ Σελεντιαρίῳ καὶ Μακεδονίῳ τῷ ὑπάτῳ καὶ Τριβουνιανῷ ἐπὶ τῶν ᾿Ιουστινιανοῦ χρόνων. Hesy.

113 ᾿Αγαθικά: τὰ σπουδαῖα. Σ

114 ᾿Αγαθοεργία. Δαμάσκιος· ὡς δὲ ἑνὶ λόγῳ τὸ πᾶν συλλαβεῖν, ὅπερ ἔφη ὁ Πυθαγόρας ὁμοιότατον ἔχειν τῷ θεῷ τὸν ἄνθρωπον, τοῦτο σαφῶς ἐπὶ τῶν ἔργων αὐτὸς ἐπεδείκνυτο, τὴν ἀγαθοεργὸν προθυμίαν καὶ τὴν ἐς πάντας ἐπεκτεινομένην εὐεργεσίαν, μάλιστα μὲν τὴν ἀναγωγὴν τῶν ψυχῶν ἀπὸ τῆς κάτω βριθούσης παντοίας κακίας· ἔπειτα καὶ τὴν σωτήριον τῶν σωμάτων ἐκ τῆς ἀδίκου ἢ ἀνοσίου ταλαιπωρίας· τὸ δ᾿ αὖ τρίτον, ἐπεμελεῖτο τῶν ἔξω πραγμάτων, ὅση δύναμις. Δ

115 ᾿Αγαθοεργοί: αἱρετοὶ κατ᾿ ἀνδραγαθίαν. ἐκ τῶν ᾿Εφόρων. Σ|

116 ᾿Αγαθοθέλεια: ἡ τῶν ἀγαθῶν ἐκλογή. οὐκ ἀρκεῖ τοῖς πράγμασιν ἡ ἀγαθοθέλεια μόνον, ἀλλὰ δεῖ καὶ ῥώμης καὶ ἐπιστρεφείας. Δ

117 ᾿Αγαθοκλῆς· οὗτος ἐγένετο τύραννος καί, ὥς φησι Τίμαιος, κατὰ τὴν πρώτην ἡλικίαν κοινὸς πόρνος, ἕτοιμος τοῖς ἀκρατεστάτοις, κολοιός, τριόρχης, πάντων τῶν βουλομένων τοῖς ὄπισθεν ἔμπροσθεν γεγονώς. ὃς ὅτε ἀπέθανε, τὴν γυναῖκα φησὶ κατακλαιομένην αὐτὸν οὕτω θρηνεῖν· τί δ᾿ οὐκ ἐγὼ σέ; τί δ᾿ οὐκ ἐμὲ σύ; ὅτι δὲ ἐκ φύσεως ἀνάγκη μεγάλα προτερήματα γεγονέναι περὶ τὸν ᾿Αγαθοκλέα, τοῦτο δῆλον. εἰς γὰρ τὰς Συρακούσας παρεγενήθη φεύγων τὸν τροχόν, τὸν καπνόν, τὸν πηλόν, περί τε τὴν ἡλικίαν ὀκτωκαίδεκα ἔτη γεγονώς, καὶ μετά τινα χρόνον ὁρμηθεὶς ὑπὸ τοιαύτης ὑποθέσεως, κύριος μὲν ἐγενήθη πάσης Σικελίας, μεγίστοις δὲ κινδύνοις περιέστησε Καρχηδονίους, τέλος ἐγγηράσας τῇ δυναστείᾳ, κατέστρεψε τὸν βίον βασιλεὺς προσαγορευόμενος. EV